www.tezaurliturgic.ro

# TEZAUR LITURGIC

## 24 SEPTEMBRIE

ANTONIOS MARKOU

# PARACLISUL SF.CUVIOASE TARSO DE LA KERATEAS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΤΑΡΣΩ ΤΗΝ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΗΝ

**Ποίημα Ἀντωνίου Μάρκου**

Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν:Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.
Ἤ μή ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ψαλμός ρμβ᾽ (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
Θεός Κύριος καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α᾽. Ἐξολολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.
Στίχ. β᾽. Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ᾽. Παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.
Ταῖς τῆς Ὁσίας ἱκεσίαις, Οἰκτῆρμον, ἐν Κερατέᾳ τῆς ἀσκησάσης ἐξῄχως, ὁμοῦ Ματθαίου ἀρχιποίμενος τοῦ Ὁμολογητοῦ, πέμψον τά ἐλέη Σου ἐπί λαόν ἀσεβοῦντα καί παραπικραίνοντα, Σέ τόν τῶν ὅλων Δεσπότην. Αὐτούς προσάγωμεν γάρ ὡς πρεσβευτάς, ὡς κεκτημένους τήν χάριν Σου, Κύριε.
Δόξα... Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.
Ἐν ὑπαίθρῳ ἀσκήσας, ὥσπερ στρουθίον μονώτατον, ἐν τῷ τῆς σαλότητος, Μῆτερ, τῷ σταυρῷ ἐκαθήλωσας Σόν σῶμα διά βίου, βιοτήν προκρίνασα τήν ἔξηχον, Σεμνή. Διό τῶν θείων ἠξιώθης δωρεῶν, Ταρσώ Ὁσία ἀξιάγαστε. Δόξα οὖν τῷ Σέ δοξάσαντι Χριστῷ, δόξα τῷ Σέ στεφανώσαντι, δόξα τῷ ἐν ἐσχάτοις τοῖς καιροῖς νέαν Ἁγίαν ἀναδείξαντι.
Καί νῦν... Θεοτοκίον. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν, οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ, τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς. Σπεῦσον, Κόρη, ῥύσασθαι τῶν τοῦ Βελίαρ παγίδων καί τῆς καταθλίψεως καί τῆς δαιμόνων μανίας. Σοῦ γάρ ὑπάρχει Πευκοβουγιατρίσσης ἡ Εἰκών σκέπη ἡμῶν τε καί ἀντίληψις.

Ψαλμός ν' (50).

Εἶτα ψάλλομεν ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καί ἐν εὐλαβείᾳ, τόν παρόντα Κανόνα (ἐκ τοῦ Ὄρθρου τῆς ἡμετέρας πρός τιμήν τῆς ὁσ. Ταρσώς Ἀκολουθίας), οὗ ἡ ἀκροστιχίς, «ΤΑΡΣΩ ΥΜΝΗΣΘΩ Η ΤΗΣ ΚΕΡΑΤΕΑΣ. ΑΝΤΩΝΙΟΥ».

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός. Ὑγράν διοδεύσας.

Τήν νέαν Ὁσίαν τήν τοῦ Χριστοῦ, Μονῆς Κερατέας τόν ἀτίμητον θησαυρόν, τήν ἐν ἐσχάτοις χρόνοις σαλότητος σταδίῳ ἀγωνισαμένην, πάντες τιμήσωμεν.

Ἁγίων ἐδείχθης ἐν οὐρανῷ συνόμιλος, Μῆτερ, διά ἀσκήσεως ἐπί γῆς καί κακοπαθείας ζωῆς τῆς ἐν ὑπαίθρῳ, ἐν θέρει καί χειμῶνι, ψύχει καί καύματι.

Ῥοῇ τῶν δακρύων Σου συνεχῆ, νηστείᾳ, ἀγρυπνίᾳ, ψευδαδέλφων τοῖς πειρασμοῖς καί τοῦ διαβόλου ταῖς προσβολαῖς, Ὁσία, ζωῆς τῆς αἰωνίου ἀξία γέγονας.

Σωθῆναι ποθοῦντας πάντας ἡμᾶς, τῶν τοῦ ἀλλοτρίου ἐπιθέσεων πονηρῶν, ταῖς Σαῖς θεοδέκτοις πρεσβείαις ἐκζητοῦμεν, πρός τόν εὔσπλαχνον Κύριον.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡράϊσμα πάνσεπτον καί τιμή Μονῆς Κερατέας ἐντυγχάνεις, Μῆτερ ἡμῶν, θεσπέσιε λειμών θείας ἀγάπης, τῇ Θεομήτορι τάς χεῖρας Σου ἔκτεινον.

Ὠδή γ΄. Ὁ Εἱρμός. Οὐρανίας ἀψίδος.

Ὕδωρ βλῦσον μοι, Μῆτερ, ἐξ' οὐρανοῦ τῇ πρεσβείᾳ Σου, ὅπως κατασβέσῃ τήν φλόγαν ἣν κατακαίει με,

τῆς ἁμαρτίας δεινῶς καί τῆς ἐπερχομένης πυρί καταδίκης μου, φρικτῆς προγεύσεως.
Μολυνθείς ἁμαρτίαις καί ῥυπαρός εὑρισκόμενος, ὡς τό κατ᾽ εἰκόνα μολύνας πολυειδέστατα, σπεύδω αἰτήσασθαι τήν πρός Χριστόν Σήν πρεσβείαν, ὅπως καθαρθήσομαι ἐγώ ὁ πολύκλαυστος.
Ἡμαρτηκότων, ὦ Μῆτερ, τοῦ Κυρίου ἐνώπιον, αἰτούμεθα ἐλέους πρεσβείαις ταῖς Σαῖς δεόμενοι, μή παύεις Τούτῳ θερμῶς ὑπέρ ἡμῶν εὐμενίζειν, ὅπως λυτρωθείημεν δεινῆς κολάσεως.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.
Σῶσαι πάντας, Παρθένε, τούς πρός Σέ καταφεύγοντας, πρεσβείαν δεχομένη Ὁσίας, ἥ ἱκετεύει Σε. Μή παύεις, Δέσποινα, καθικετεύειν Κυρίῳ, βελῶν τῶν τοῦ ἀλάστορος ἡμᾶς λυτρώσασθαι.

Διάσωσον ταῖς τῆς Ὁσίας πρεσβείαις Παντελεήμων, ὅτι πάντες κατόπιν Σοῦ αὐτῇ καταφεύγομεν, ὡς ἐχούσης τήν πρός Σέ παρρησίαν. Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τῆς Ὁσίας ταῖς λιταῖς Οἰκτῆρμον, ἐφ᾽ ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β’. Τά ἄνω ζητῶν.
Τῆς Ὁσίας τῇ πρεσβείᾳ νῦν προσπίπτωμεν, οἱ ἐν πόνοις ψυχῆς καί θλίψεσι ὑπάρχοντες καί δι᾽ αὐτῆς αἰτούμεθα τό τοῦ Κυρίου ἄμετρον ἔλεος καί τήν

ταχεῖαν Τούτου συνδρομήν καί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

Ὠδή δ’. Ὁ Εἱρμός. Εἰσακήκοα Κύριε.

Θεραπείας ἀξίωσον, τόν συντετριμμένον, Μῆτερ, ἱκέτην Σου, καί εὐχαῖς Σου ἐπανάφερων, εἰς τοῦ κάλλους τοῦ ἀρχαίου τήν τερπνότητα.

Ὡραιότητος θείας, οὐρανίου τε μενούσης μακαριότητος, νοσταλγός τυγχάνω ὁ ἔκπτωτος, διό με ταῖς πρεσβείαις Σου ἐλέησον.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ἡμᾶς πάντας, ὦ Μῆτερ, τούς τῇ σκέπῃ Σου σπεύδοντας, οὐρανίου χαρᾶς κέρασον, ὡς τῶν Ὁσίων γενομένη ὁμόχορος.

Τῇ αἰτήσι ἐπικλωμένῃ, συμπαθῶς τῶν πιστῶς δεομένων Σοι, Ταρσώ Μῆτερ ἀξιάγαστε, δίδου ἅπασι, χαράν τήν ἀναφαίρετον.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἡμᾶς πάντας τῷ τόκῳ Σου, γένος τῶν ἀνθρώπων, Μῆτερ Ἀπείρανδρε, Παραδείσου τήν κατοίκησιν, τῇ πρεσβείᾳ τῆς Ὁσίας καταξίωσον.

Ὠδή ε’. Ὁ Εἱρμός. Φώτισον ἡμᾶς.

Σῶτερ μανικῶς ἡ Ταρσώ Σέ ἠγάπησεν, ὥσπερ γνήσιος ἐραστής μανικός, διό καί ἐν ἀσκήσῃ τήν βιοτήν αὐτῆς ἠνάλωσεν.

Κώμης καί Μονῆς Κερατέας πέλεις, Ἔνδοξε, πολιοῦχος, Ἄνδρου γόνος ὁ λαμπρός, καί ἀρετῶν θεοειδῶν θεῖον ἐκσφράγισμα.

Εὐσεβῶς πάντων ἡμῶν γεραιρόντων τήν ἀοίδημον καί σεπτήν Σου μνήμην, Μῆτερ ἀγαθή, μή ἐπιλάθου Σαῖς πρός Κύριον δεήσεσι.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥύου τούς πιστῶς Σέ τιμῶντας, θεία Δέσποινα, ὅτι πάντων ἡμῶν πέλεις ὁδηγός καί μεσήτρια πρός Κύριον καί πρόμαχος.

Ὠδή στ'. Ὁ Εἱρμός. Τήν δέησιν.

Ἀλέξανδρον ἐν τῶ τάφῳ ὡς εἶδεν, ἐφιλοσόφησεν ἐπί τοῦ τῆς ζωῆς προσκαίρου, θεῖος Σισώης, διό ἡ μακαρία, τῶν ἡδονῶν τῶν προσκαίρων προέκρινε, τῶν Παραδείσου ἀγαθῶν, ἅ δι' ἀσκήσεως ὡς ἔξηχος ἔτυχεν.

Ταχέως νῦν, τά τῆς ψυχῆς μου ἰάτρευσον τραύματα, ταῖς Σαῖς λιταῖς, Ὁσία, πρός τόν Λόγον καί ἐκ παθῶν καί μολυσμάτων ἰλύος καί βδελυρῶν με ἀπάλλαξον πράξεων καί δυσωδείας τῶν παθῶν καί Παρακλήτου εὐωδίαν παράσχου μοι.

Ἐλπίζοντες Σοί τά νῦν προστρέχομεν, ὡς ἐν πηγῇ θεοπειθῶν αἰτημάτων καί Σύ δεόμεθα, Μῆτερ, μή παύσῃς, ὑπέρ ἡμῶν ἱκετεύειν τόν Κτίσαντα, ἵνα ἐπομβρίσῃ γλυκασμόν καί ἀθανάτου ζωῆς θεῖα νάματα.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.
Αἰνοῦμεν Σε καί εὐλογοῦμεν, Δέσποινα, καί αἰτούμεθα λιτάς Σου τάς ἁγίας, ἵνα παθῶν καί κινδύνων ῥυσθῶμεν καί πρός τήν ἄνω ζωήν καταντήσωμεν, ἔνθα χαρά ἀληθινή, ἐν τῷ φωτί τοῦ Υἱοῦ Σου τό ἀνέσπερον.

Διάσωσον ταῖς τῆς Ὁσίας πρεσβείαις Παντελεήμων, ὅτι πάντες κατόπιν Σοῦ αὐτῇ καταφεύγομεν, ὡς ἐχούσης τήν πρός Σέ παρρησίαν. Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τῆς Ὁσίας ταῖς λιταῖς Οἰκτῆρμον, ἐφ' ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.
Μεσιτείᾳ τῆς Μητρός Σου, Πολυέλεε, ἱκεσίαις τῆς Ὁσίας καί δεήσεσι, τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς. Ἡμάρτομέν Σοι, Ἀγαθέ, καί παροργίζομεν ἀεί, τήν Σήν ἀγαθότητα. Δέχου τήν μεσιτείαν τῆς ἀχράντου Μητρός Σου, ἐπικαμπτόμενος, Σωτήρ, Αὐτῆς ταῖς δεήσεσι.

Καί εὐθύς τό Προκείμενον.
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στίχος: Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῶ Λιβάνῳ πληθυνθήσεται.

Ἐκ τοῦ κατά Ἰωάννην ἁγίου Εὐαγγελίου

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμέ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἄν τό ἴδιον ἐφίλει. Ὅτι δέ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ’ ἐγώ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διά τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύεται τοῦ λόγου, οὗ ἐγώ εἶπον ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμέ ἐδίωξαν, καί ὑμᾶς διώξωσιν. Εἰ τόν λόγον μου ἐτήρησαν, καί τόν ὑμέτερον τηρήσουσιν. Ἀλλά ταῦτα πάντα ποιήσουσιν ὑμῖν διά τό ὄνομά μου, ὅτι οὐκ οἴδασι τόν πέμψαντά με. Εἰ μή ἦλθον καί ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. Νῦν δέ πρόφασιν οὐκ ἔχουσι περί τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμέ μισῶν καί τόν Πατέρα μου μισεῖ. Εἰ τά ἔργα μή ἐποίησα αὐτοῖς, ἅ οὐδείς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον. Νῦν δέ καί ἑωράκασι καί μεμισήκασι καί ἐμέ καί τόν Πατέρα μου. Ἀλλ’ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῶ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δέ ἔλθη ὁ Παράκλητος, ὅν ἐγώ πέμψω ὑμῖν παρά τοῦ Πατρός, τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περί ἐμοῦ. Καί ὑμεῖς δέ μαρτυρεῖτε, ὅτι ἀπ’ ἀρχῆς μετ’ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μή

σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς, ἀλλ’ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. (ιε’ 17–27 καί ιστ’1- 2).

Δόξα…
Ταῖς τῆς Σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν…
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.
Ἦχος πλ. β’. Ὅλην ἀποθέμενοι.
Δεῦτε τήν κλεινήν Ταρσώ, τῆς Κερατεάς, ἐν ὕμνοις καί ᾠδαῖς τιμήσωμεν, οἱ αὐτῇ προσπίπτοντες μετά πίστεως. Τῷ Θεῷ αὕτη γάρ, ὑπέρ λαοῦ ἅπαντος, μετά ζέσεως προσδέεται, ἐπιδαψιλεύουσα ἡμῖν τό τοῦ Κυρίου ἔλεος καί Τούτου τήν σωτήριον ἐπί τοῖς δεομένοις βοήθειαν. Χαίρε αὐτῇ βοῶντες, δοχεῖον τοῦ Κυρίου ἐκλεκτόν καί τῆς Αὐτοῦ ὁμηγύρεως μέλος τιμιώτατον.

Ὠδή ζ’. Ὁ Εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας.
Σῶζε τούς ἐν πίστει προσπίπτοντας, ὦ Μῆτερ, τῇ Σῇ πρεσβείᾳ καί χάριτι, Πάνσεμνε. Χριστῷ συμβασιλεύεις γάρ ἐν Παραδείσῳ, διό ἀνακράζωμεν. Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Μνήσθητι τῆς φωνῆς μου, ἣν δέχου ὡς θυσίαν καί ὡς εὐῶδες τερπνόν τε θυμίαμα, παθῶν δέ ἀκαθάρτων μάκρυνον δυσωδίαν ἀπό τοῦ δούλου Σου ψάλλοντος. Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Ὁ Κύριος τῶν πάντων, ἐδέχθη μαρτυρίου τήν πρόθεσιν Ταρςῶς τῆς ψυχῆς, τῆς ἐν ἐσχάτοις χρόνοις σημεῖοις κηρυχθεῖσαν, διό ἐκβοῶμεν Αὐτῇ. Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ναέ τοῦ Ζωοδότου, ὕμνον Σοί Θεοτόκε, προσφέρομεν ἐντόνως κραυγάζοντες, πύλην τῆς μετανοίας ὑπάνοιξον, Παρθένε, τοῖς βοῶσι τῶ τόκῳ Σου. Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Ὠδή η’. Ὁ Εἱρμός. Τόν Βασιλέα τῶν οὐρανῶν.

Ἡμεῖς, ὦ Μῆτερ, κηρύττομεν Σούς ἀγῶνας, σεπτή Ταρσώ, ὑπέμεινας γάρ θλίψεις ἐν τῇ ὑπαίθρῳ, διά Χριστόν τόν Κτίστην.

Σωφροσύνην, ὦ Μῆτερ, τοῖς Σέ τιμῶσι, χορήγει Σαῖς πρεσβείαις πρός τόν Λόγον, Ὅν ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

Αὔγασον, Μῆτερ, θείαις αὐγαῖς τήν ψυχήν μου, ἐσκοτισμένη γάρ ὑπάρχει ἁμαρτίᾳ, Σῇ ἱκεσίᾳ πρός Κύριον τῆς δόξης.

Νικῆσαι θέλων Βελίαρ τάς δεινάς παγίδας, ἅς καθ’ ἡμέραν πρό ποδῶν μου ἐφαπλώνει, ἐπικαλοῦμαι θερμήν τήν Σήν πρεσβείαν.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.
Τιμιωτέρα τῶν Χερουβείμ ὑπάρχεις καί ἐνδοξωτέρα τῶν Σεραφείμ, Μαρία, ὡς τοῦ Κυρίου Θεοῦ ἡμῶν Μητέρα.

Ὠδή θ’. Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.
Ὡράϊσμα καί κλέος καί ἄνθος ἐρημίας, δι’ ἐγκρατείας ἐφάνης καί ἀσκήσεως, Ταρσώ Μῆτερ ἀγαθή, καί ἀσκουμένων ὑπόδειγμα καί τύπος.
Ναός τοῦ Παρακλήτου, δι’ ἀσκήσεως ἐγένου καί ἀρετῶν καταγώγιον, Μῆτερ σεπτή, ὡς τοῦ Ἀνδρέου μιμητής καί Συμεών τοῦ θείου συνέκδημος.
Ἰσχύει Παρακλήτου Ταρσώ ἐγεγόνεις, πειραζομένων ἀλείπτης καί μέγας φωστήρ, τῶν ἐν σαλότητι Ἁγίων, διό τιμῶμεν Σε.
Ὁμότροπος Ὁσίων πέλεις, Ὁσία Μῆτερ, καί ἀσκητῶν συνοδίτης, Χριστοῦ μιμητής, καί μοναζόντων κοσμήτωρ καί ἐγκαλλώπισμα.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.
Ὑμνοῦμεν, Θεοτόκε, τό κάλλος τῆς Σῆς δόξης καί τόν ἐκ Σοῦ γεννηθέντα δοξάζομεν καί σύν Ἁγίων χορείαις Σέ μεγαλύνομεν.

Μεγαλυνάρια:
Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν

ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.
Χαίροις τῶν Ὁσίων ἡ καλλονή, Ταρσώ θεοφόρε, καί σαλότητος στολισμός. Χαίροις Ὀρθοδόξου πληρώματος προστάτης, Ἑλλάδος δέ ἁπάσης εὐχαῖς Σου πρόμαχος.
Χαῖροις ἡ τῆς Ἄνδρου γόνος λαμπρά, Μονῆς Κερατεάς πολιοῦχος καί βοηθός πάντων Ὀρθοδόξων τῶν ἐπικαλουμένων, τήν Σήν θερμήν πρεσβείαν καί τήν ἀντίληψιν.
Ταρσώ γλυκητάτη Μήτηρ ἡμῶν, τούς Σοί προσφυγόντας σπεῦσον τοῦ σῶσαι τῶν πονηροῦ προσβολῶν ματαίων καί τείχισον εὐχαῖς Σου, πάντας τούς Ὀρθοδόξους, τούς ἀνυμνοῦντας Σε.
Τούς ἀθροιζομένους ἐν τῇ Μονῇ, ἀοράτων πάντας, ὁρατῶν τε ἐπιβουλῆς, ἡμᾶς τυραννούντων, δεόμεθα ῥυσθῆναι, ὑπό τῆς χάριτός Σου, Ταρσώ ἀοίδημε.
Τά πεπυρωμένα βέλη τά τοῦ ἐχθροῦ, ἔνεδρα παγίδας διασκέδασον ἐξ ἡμῶν, τῇ δυνάμει, Μῆτερ, τῇ ἐκ Θεοῦ δοθείσῃ, ὅπως αὐτῶν ῥυσθέντες Σέ μεγαλύνωμεν.
Κράζωμεν εὐγνωμόνως, χαῖρε Σεμνή, ὅτι εὐαρεστῆσαι τῷ Λειψάνῳ Σου τῷ σεπτῷ, τῷ ἀποκειμένῳ Ξένης Παρεκκλησίῳ, δοξάζοντες Κυρίου τό ἄμετρον ἔλεος.
Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὁ Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα.
Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.
Δόξα...
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.
Καί νῦν...
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπολυτίκιον. Ἦχος α᾽. Τῆς ἐρήμου πολίτης.
Ἐν ὑπαίθρῳ ἀσκήσας, ὥσπερ στρουθίον μονώτατον, ἐν τῷ τῆς σαλότητος, Μῆτερ, τῷ σταυρῷ ἐκαθήλωσας Σόν σῶμα διά βίου, βιοτήν προκρίνασα τήν ἔξηχον, Σεμνή. Διό τῶν θείων ἠξιώθης δωρεῶν, Ταρσώ Ὁσία ἀξιάγαστε. Δόξα οὖν τῷ Σέ δοξάσαντι Χριστῷ, δόξα τῷ Σέ στεφανώσαντι, δόξα τῷ ἐν ἐσχάτοις τοῖς καιροῖς νέαν Ἁγίαν ἀναδείξαντι.

Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τῆς Ὁσίας καί χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια:
Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε προσκυνήσωμεν πιστοί, ἱεράν εἰκόνα καί θήκην θείων Λειψάνων τε, Ταρσῶς τήν τόν ἔξηχον βίον προκρίνασαν, σύν Ματθαίῳ καί εἴπωμεν αὐτοῖς μελωδοῦντες, χαίρετε τρισόλβια δοχεῖα Πνεύματος, Ἅγιοι νεοφανεῖς Ἐκκλησίας καί ἡμῶν προστάται ἐν ἀνάγκαις, πάντων τε Ὀρθοδόξων οἱ ἀμύντορες. Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

